# TEZAUR LITURGIC

## 16 OCTOMBRIE
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.MUCENIC LONGHIN SUTAŞUL

ATENA,2020

www.tezaurliturgic.ro



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΑ ΛΟΓΓΙΝΟΝ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ευλογήσαντος του Ιερέως, το Κύριε εισάκουσον, μεθ' ό το Θεός Κύριος ως συνήθως και το εξής:

Ήχος δ'. Ο υψωθείς εν τω Σταυρώ.

Τον εν Σταυρώ προσηλωθέντα ως είδες, ΥΙόν Θεού Μάρτυς Λογγίνε κηρύττεις, και δι' αυτόν το αίμα σου εξέχεας˙ Όθεν καθικέτευε, από πάσης ανάγκης, ρύεσθαι τους σπεύδοντας, τη θερμή σου πρεσβεία και των πταισμάτων δούναι ιλασμόν, ημίν τοις πόθω, τιμώσι τους άθλους σου.

Δόξα, το αυτό. Και νυν. Θεοτοκίον.

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι˙ ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων, τίς δε διεφύλαξεν, έως νυν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σου˙ σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ο Ν'. και ο κανών ου η ακροστιχίς.

«Λογγίνε ρύσαι με πάσης βλάβης. Γερασίμου».

Ωδή α’. Ήχος πλ. δ’. Υγράν διοδεύσας.

Λαμπόμενος φέγγει Τριαδικώ, απάλεσον Μάρτυς, των παθών μου τον σκοτασμόν, Λογγίνε φωτί των πρεσβειών σου, και του εχθρού της μανίας με λύτρωσαι.

Ο πίστει τελεία Υιόν Θεού, κηρύξας Λογγίνε, τον σταυρούμενον Λυτρωτήν, νέκρωσον σαρκός μου τας ορέξεις, ζωοποιώ σου πρεσβεία μακάριε.

Γενναίως αθλήσας υπέρ Χριστού, νομίμως ανύειν, ενδυνάμωσον Αθλητά, τας τρίβους των θείων προσταγμάτων, τους εξαιτούντας την θείαν πρεσβείαν σου.

Θεοτοκίον.

Γεννήσασα Κόρη υπερφυώς, τον πάντων Σωτήρα, αναπλάττοντα τον Αδάμ, σώσόν με φοράς της του Βελίαρ, και της αυτού με απάτης απάλλαξον.

Ωδή γ’. Ουρανίας αψίδος.

Ισχύν θείαν εδέξω, εκ του Σταυρού Άγιε˙ όθεν την ισχύν του δολίου, εις τέλος σύντριψον, και ενδυνάμωσον, ημάς Λογγίνε λιταίς σου, του πατείν εκάστοτε, τούτου τα ένεδρα.

Νοσημάτων παντοίων, και χαλεπών θλίψεων, φύλαττε Λογγίνε ατρώτους, τους σε γεραίροντας, και αίτει άφεσιν, αμαρτιών ημίν πάσι, και βίου διόρθωσιν, και θείον έλεος.

Εν Σταυρώ ως κατείδες, υπέρ ημών πάσχοντα, τον Δημιουργόν των απάντων, τούτω πεπίστευκας, ώ προσοικείωσαι, αθλητικαίς σου πρεσβείαις, τους σε μακαρίζοντας Λογγίνε ένδοξε.

Θεοτοκίον.

Ρυομένη μη παύση, εκ των βελών Άχραντε, του δημιουργού της κακίας, τον νουν μου δέομαι, και δος μοι σύνεσιν, ως αν εν γήρα Παρθένε, μετανοίας πράξεσι, λάβω συγχώρησιν.

Διάσωσον Μάρτυς Λογγίνε πρεσβείαις σου θεοδέκτοις, από πάσης επιφοράς και κακώσεως, τους αιτουμένους την θείαν σου προστασίαν.

Επίβλεψον εν ευμενεία…

Αίτησις και το Κάθισμα.Ήχος β’. Πρεσβεία θερμή.

Πρεσβεία τη ση, Λογγίνε καταφεύγοντες, πικρών πειρασμών, ρυσθείημεν και θλίψεων, και της θείας τύχομεν, ευσπλαγχνίας ομού και χρηστότητος· σε γαρ

μεσίτην σοφέ προς Χριστόν, ως Μάρτυρα τούτου προβαλλόμεθα.

Ωδή δ'. Εισακήκοα Κύριε.

Υπέρ πάντων ικέτευε, τον Χριστόν ον είδες εν Σταυρώ πάσχοντα, και δι' όν προθύμως ήθλησας, Άγιε Λογγίνε εννομώτατα.

Οδυνών με απάλλαξον, των κατά ψυχήν και σώμα μακάριε, τη ταχεία αντιλήψει σου, και επηρειών των του αλάστορος.

Υπελθών το μαρτύριον, Μάρτυς αληθής του Χριστού εχρημάτισας˙ δια τούτο των παγίδων με, του εχθρού Λογγίνε απολύτρωσαι.

Θεοτοκίον.

Μητροπάρθενε Δέσποινα, η τον Θεόν Λόγον αφράστως τέξασα, αλογίας παθών ρύσαί με, και επινοιών των του αλάστορος.

Ωδή ε'. Φώτισον ημάς.

Έχων προς Χριστόν, παρρησίαν πολλήν Άγιε, καθικέτευε Λογγίνε εκτενώς, υπέρ πάντων των εν πίστει προσιόντων σοι.

Πάσης απειλής, ανωτέρους ημάς φύλαττε, και δεινών επερχομένων προσβολάς, αφ' ημών Μάρτυς Λογγίνε αποδίωκε.

Αίματι τω σω, την πυράν της πλάνης έσβεσας˙ διο σβέσον των παθών ημών το πυρ, δροσισμώ της σης Λογγίνε επισκέψεως.

Θεοτοκίον.

Σθένωσον Αγνή, ασθενούσαν την καρδίαν μου, κατά πάσης του εχθρού επιβουλής, και ειρήνην αεί δίδου μοι και σώσόν με.

Ωδή στ'. Την δέησιν.

Ηνίκα, γυνή αόμματος χήρα, εν κοπρία την σην εύρατο κάραν, τη χάριτί σου ανέβλεψε Μάρτυς˙ διο καμού της καρδίας διάνοιξον, τους οφθαλμούς τους νοητούς, ίνα βλέψω το φως το ανέσπερον.

Σταυρώ σου, παρεστηκώς ο Λογγίνος, Θεόν πάσχοντα σαρκί σε επέγνω˙ ου ταις λιταίς της ψυχής μου τα πάθη, και τας του σώματος νόσους θεράπευσον, και δίδου μοι Παμβασιλεύ, των πταισμάτων την άφεσιν δέομαι.

Βελών με, των χαλεπών του δολίου, απολύτρωσαι Λογγίνε τρισμάκαρ, και της αυτού τυραννίδος με ρύσαι, και

μοχθηράς συνηθείας απάλλαξον, και ίθυνόν με ασφαλώς, μετανοίας προς όρμον και σώσόν με.

Θεοτοκίον.

Λυχνία, φωτοειδής ανεδείχθης, ως τεκούσα μετά σώματος Κόρη, τον φως παρέχοντα πάσιν εν κόσμω, και αμαρτίας το σκότος ελαύνοντα˙ διο καταύγασον καμού, της καρδίας και όμματα δέομαι.

Διάσωσον Μάρτυς Λογγίνε πρεσβείαις σου θεοδέκτοις, από πάσης επιφοράς και κακώσεως, τους αιτουμένους την θείαν σου προστασίαν.

Άχραντε η δια λόγου…

Αίτησις και το Κοντάκιον.Ήχος β’. Τοις των αιμάτων σου.

Καταυγασθείς τη ελλάμψει μακάριε, του Σταυρωθέντος δι’ έλεος άφατον, αυτού της ευκλείας ηξίωσαι, υπέρ ημών ικετεύων εκάστοτε, Λογγίνε των πίστει τιμώντών σε.

Προκείμενον.Θαυμαστός ο Θεός εν τοις αγίοις αυτού.

Στίχ. Τοις αγίοις τοις εν τη γη αυτού…

Ευαγγέλιον κατά Ματθαίον.

Τω καιρώ εκείνω, ελθόντες οι στρατιώται εις τόπον λεγόμενον Γολγοθά, ός εστί λεγόμενος Κρανίου τόπος, έδωκαν αυτώ πιείν όξος μετά χολής μεμιγμένον˙ και

γευσάμενος, ούκ ήθελε πιείν. Σταυρώσαντες δε αυτόν, διεμερίσαντο τα ιμάτια αυτού, βάλλοντες κλήρον, ίνα πληρωθή το ρηθέν υπό του Προφήτου˙ Διεμερίσαντο τα ιμάτιά μου εαυτοίς, και επί τον ιματισμόν μου έβαλον κλήρον. Και καθήμενοι ετήρουν αυτόν εκεί. Και επέθηκαν επάνω της κεφαλής αυτού την αιτίαν αυτού γεγραμμένην˙ Ούτός εστίν Ιησούς ο Βασιλεύς των Ιουδαίων. Τότε σταυρούνται συν αυτώ δύο λησταί, εις εκ δεξιών, και εις εξ ευωνύμων. Οι δε παραπορευόμενοι εβλασφήμουν αυτόν, κινούντες τας κεφαλάς αυτών, και λέγοντες˙ Ο καταλύων τον ναόν, και εν τρισίν ημέραις οικοδομών, σώσον σεαυτόν˙ ει Υιός ει του Θεού κατάβηθι από του Σταυρού. Ομοίως δε και οι Αρχιερείς, εμπαίζοντες μετά των Γραμματέων και Πρεσβυτέρων και Φαρισαίων, έλεγον˙ Άλλους έσωσεν, εαυτόν ου δύναται σώσαι˙ ει Βασιλεύς Ισραήλ εστί, καταβάτω νυν από του Σταυρού, και πιστεύσομεν αυτόν. Πέποιθεν επί τον Θεόν˙ ρυσάσθω νυν αυτόν, ει θέλει αυτόν˙ είπε γαρ˙ Ότι Θεού ειμί Υιός. Το δ' αυτό και οι λησταί, οι σταυρωθέντες αυτώ, ωνείδιζον αυτώ. Από δε έκτης ώρας σκότος εγένετο επί πάσαν την γην έως ώρας ενάτης. Περί δε την ενάτην ώραν ανεβόησεν ο Ιησούς φωνή μεγάλη,

λέγων˙ Ηλί, Ηλί Λαμά σαβαχθανί, τουτέστι, Θεέ μου, Θεέ μου, ίνα τί με εγκατέλειπες; Τινές δε των εκεί εστώτων ακούσαντες έλεγον˙ Ότι Ηλίαν φωνεί ούτος. Και ευθέως δραμών εις εξ αυτών, και λαβών σπόγγον, πλήσας τε και όξους, και περιθείς καλάμω, επότιζεν αυτόν. Οι δε λοιποί έλεγον˙ Άφες ίδωμεν, ει έρχεται Ηλίας σώσων αυτόν. Ο δε Ιησούς πάλιν κράξας φωνή μεγάλη, αφήκε το πνεύμα. Και ιδού το καταπέτασμα του ναού εσχίσθη εις δύο από άνωθεν έως κάτω, και η γη εσείσθη, και αι πέτραι εσχίσθησαν, και τα μνημεία ανεώχθησαν, και πολλά σώματα των κεκοιμημένων Αγίων ηγέρθη˙ και εξελθόντες εκ των μνημείων μετά την έγερσιν αυτού, εισήλθον εις την αγίαν πόλιν, και ενεφανίσθησαν πολλοίς. Ο δε Εκατόνταρχος και οι μετ' αυτού, τηρούντες τον Ιησούν ιδόντες τον σεισμόν και τα γενόμενα, εφοβήθησαν σφόδρα, λέγοντες˙ Αληθώς Θεού Υιός ήν ούτος.

Δόξα. Ταις του Αθλοφόρου...

Και νυν. Ταις της Θεοτόκου...

Προσόμοιον.Ήχος πλ. β'. Όλην αποθέμενοι.

Στίχ. Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου...

Χαίρων ωμολόγησας, τον Βασιλέα της δόξης, Λογγίνε μακάριε, και Μάρτυς αήττητος αυτού πέφηνας˙ και τανύν Άγιε, εκτενώς δυσώπει, των εν βίω περιστάσεων, λυτρούσθαι άπαντας, τους τη ση πρεσβεία προστρέχοντας, και σε προστάτην έτοιμον, επιγραφομένους εκ πίστεως˙ και καλώς διάγειν, τον βίον ενδυνάμωσον ημάς, ίνα της άνω λαμπρότητος, μετά τέλος τύχωμεν.

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Αθλητής νικηφόρος, ως αθλήσας νομίμως Λογγίνε πέφηνας˙ διο της ανομίας, εκκλίνειν με τας τρίβους, και βοάν καταξίωσον˙ Ο των Πατέρων ημών Θεός ευλογητός ει.

Βασιλείας της άνω, κληρονόμος αξίως Λογγίνε γέγονας˙ διο βασιλευούσης, ένδον εν τη ψυχή μου, αμαρτίας με λύτρωσαι, και σχέσεως πονηράς, παθών των ακαθάρτων.

Η αγία σου κάρα, θησαυρός ιαμάτων Λογγίνε δέδεικται, καθαίρουσα τας νόσους, και νέμουσα υγείαν, και χαράν τοις κραυγάζουσιν˙ Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θεοτοκίον.

Σωτηρίαν τεκούσα, τον Δεσπότην των όλων κυοφορήσασα˙ διο Παρθένε σώσον, καμέ τον εν τω νόμω, αμαρτίας

δουλεύοντα, την κατ’ εμού του εχθρού, συντρίβουσα μανίαν.

Ωδή η’. Τον Βασιλέα.

Γενού Λογγίνε, τοις προσιούσί σοι Μάρτυς, εν ταις θλίψεσι βοήθεια ταχεία, πάσης δυσχερείας, λύων την αθυμίαν.

Έπιδε Μάρτυς, επί τους σε ανυμνούντας, και την δέησιν πλήρου ημών Λογγίνε, ως τω Ζωοδότη, παρεστηκώς εν δόξη.

Ρώσιν εξαίτει, κατά ψυχήν τε και σώμα, και συγχώρησιν πταισμάτων Αθλοφόρε, τοις τη ση πρεσβεία, προστρέχουσι προθύμως.

Θεοτοκίον.

Αγγέλων δόξα, και των βροτών σωτηρία, Αειπάρθενε δεδοξασμένη Κόρη, πάσης αδοξίας, λύτρωσαι την ψυχήν μου.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Συνόμιλος Αγγέλων, Λογγίνε υπάρχων, δια παντός συν αυτοίς καθικέτευε, υπέρ ημών των αιτούντων την προστασία σου.

Ιάτρευσον το άλγος, Μάρτυς της ψυχής μου, και πονηράς συνηθείας με λύτρωσαι, πρεσβευτική σου δυνάμει Λογγίνε ένδοξε.

Μεγίστης ευκληρίας, κατηξιωμένος, ως του Χριτού Αθλοφόρος αήττητος, μεγάλων πόνων Λογγίνε ημάς απάλλατε.

Ορών την του Σωτήρος, έλαμψον Λογγίνε, τον σκοτασμόν της ψυχής μου αφάνισον, τη φωτοφόρω πρεσβεία σου αξιάγαστε.

Θεοτοκίον.

Υπέρτερον τον νουν μου, δείξον Θεοτόκε, της πονηράς συνηθείας του χείρονος, και μετανοίας τω φέγγει με φωταγώγησον.

Το Άξιον εστί και τα μεγαλυνάρια.

Αίγλην εισδεξάμενος μυστικήν, τον προσηλωθέντα, εκουσίως εν τω Σταυρώ, Θεόν των απάντων, εκήρυξας Λογγίνε, και μαρτυρίου δρόμου χαίρων, διήνυσας.

Χαίροις Εκατόνταρχε θαυμαστέ˙ συ γαρ του Σωτήρος, παρειστήκεις εν τω Σταυρώ, και το φως κατείδες, εγέρσεως της τούτου˙ διο και απορρήτου, δόξης ηξίωσαι.

Ξίφει εκτμηθείς σου την κεφαλήν, υπέρ της αγάπης, του των όλων Δημιουργού, της αθανασίας, τον στέφανον εδέξω, Λογγίνε Αθλοφόρε, αξιοθαύμαστε.

Νεύσει σου την κάραν σου την σεπτήν, η γυνή ευρούσα, εφωτίσθη τους οφθαλμούς, και θερμόν προστάτην, ευρούσά σε Λογγίνε, εκήρυττε τοις πάσι, την προστασίαν σου.

Δίδου ημίν Μάρτυς εξ ουρανού, την θείαν σου χάριν, και βοήθειαν την σεπτήν, τοις θερμώς Λογγίνε, ποθούσι σε εν πίστει, και των σφαλμάτων αίτει, ημίν συγχώρησιν.

Θρόνω παριστάμενος του Χριστού, Λογγίνε τρισμάκαρ, ως περίδοξος Αθλητής, εκτενώς δυσώπει, λυτρούσθαι πάσης βλάβης, και πάσης επηρείας, τους σε γεραίροντας.

Πάσαι των Αγγέλων…

Το Τρισάγιον, τα συνήθη τροπάρια, εκτενής, και απόλυσις, μεθ' ήν ψάλλομεν το εξής:

Ήχος β'. Ότε εκ του ξύλου.

Μάρτυς Αθλοφόρε του Χριστού, Άγιε Λογγίνε θεόφρον, Εκατοντάρχα σοφέ, δέξαι τας φωνάς ημών, και δίδου άπασι, την θερμήν σου βοήθειαν, ως έχων μεγίστην, παρρησίαν ένδοξε, προς τον Σωτήρα Χριστόν, όνπερ

εκτενώς εκδυσώπει, άφεσιν πταισμάτων διδόναι, και παθών ημίν την απολύτρωσιν.

Δίστιχον.

Λογγίνε οικείωσαι Χριστώ τω Λόγω

Γεράσιμον σπεύδοντα τη αρωγή σου.

